## 177. THE TRIAL BEFORE PILATE (Matt-Mk Identical)

| Matt 27:1-31 | Mark 15:1-20 |
| --- | --- |
| *Πρωΐας δὲ γενομένης* | *Καὶ εὐθὺς πρωι* |
| *συμβούλιον ἔλαβον* | *συμβούλιον ποιήσαντες* |
| *πάντες οἱ ἀρχιερεῖς* | *οἱ ἀρχιερεῖς* |
| *καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ* | *μετὰ τῶν πρεσβυτέρων* |
| | *καὶ γραμματέων* |
| | *καὶ ὅλον τὸ συνέδριον* |
| *κατὰ τοῦ Ἰησοῦ* | |
| *ὥστε θανατῶσαι αὐτόν·* | |
| *2 καὶ δήσαντες αὐτὸν ἀπήγαγον* | *δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν* |
| *καὶ παρέδωκαν* | *καὶ παρέδωκαν* |
| *Πιλάτῳ τῷ ἡγεμόνι.* | *Πιλάτῳ.* |
| *3 Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη μεταμεληθεὶς ἔστρεψεν τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ πρεσβυτέροις 4 λέγων, Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ εἶπαν, Τί πρὸς ἡμᾶς σὺ ὄψῃ. 5 καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησεν, καὶ ἀπελθὼν ἀπήγξατο. 6 οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπαν, Οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν. 7 συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν Ἀγρὸν τοῦ Κεραμέως εἰς ταφὴν τοῖς ξένοις. 8 διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος Ἀγρὸς Αἵματος ἕως τῆς σήμερον. 9 τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἰερεμίου τοῦ προφήτου λέγοντος, Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, 10 καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέν μοι κύριος.* | |
| *11 Ὁ δὲ Ἰησοῦς ἐστάθη ἔμπροσθεν τοῦ ἡγεμόνος·* | |
| *καὶ ἐπηρώτησεν αὐτὸν* | *2 καὶ ἐπηρώτησεν αὐτὸν* |
| *ὁ ἡγεμὼν* | *ὁ Πιλᾶτος,* |
| *λέγων,* | |
| *Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων* | *Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων* |
| *ὁ δὲ Ἰησοῦς ἔφη,* | *ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει,* |
| *Σὺ λέγεις.* | *Σὺ λέγεις.* |
| *12 καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν* | *3 καὶ κατηγόρουν αὐτοῦ* |

| | |
|---|---|
| ὑπὸ τῶν ἀρχιερέων | οἱ ἀρχιερεῖς πολλά. |
| καὶ πρεσβυτέρων | |
| οὐδὲν ἀπεκρίνατο. | |
| 13 τότε λέγει αὐτῷ ὁ Πιλᾶτος, | 4 ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτα αὐτὸν λέγων, |
| Οὐκ ἀκούεις | Οὐκ ἀποκρίνῃ οὐδέν |
| πόσα σου καταμαρτυροῦσιν | ἴδε πόσα σου κατηγοροῦσιν. |
| 14 καὶ | 5 ὁ δὲ Ἰησοῦς |
| οὐκ ἀπεκρίθη αὐτῷ | οὐκέτι οὐδὲν ἀπεκρίθη, |
| πρὸς οὐδὲ ἓν ῥῆμα, | |
| ὥστε θαυμάζειν | ὥστε θαυμάζειν |
| τὸν ἡγεμόνα λίαν. | τὸν Πιλᾶτον. |
| | |
| 15 Κατὰ δὲ ἑορτὴν | 6 Κατὰ δὲ ἑορτὴν |
| εἰώθει ὁ ἡγεμὼν ἀπολύειν | ἀπέλυεν |
| ἕνα τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον. | αὐτοῖς ἕνα δέσμιον ὃν παρῃτοῦντο. |
| 16 εἶχον δὲ τότε δέσμιον ἐπίσημον | |
| λεγόμενον Ἰησοῦν Βαραββᾶν. | 7 ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν στασιαστῶν δεδεμένος οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. 8 καὶ ἀναβὰς ὁ ὄχλος ἤρξατο αἰτεῖσθαι καθὼς ἐποίει αὐτοῖς. |
| 17 συνηγμένων οὖν αὐτῶν | |
| εἶπεν αὐτοῖς ὁ Πιλᾶτος, | 9 ὁ δὲ Πιλᾶτος ἀπεκρίθη |
| | αὐτοῖς λέγων, |
| Τίνα θέλετε ἀπολύσω ὑμῖν, | Θέλετε ἀπολύσω ὑμῖν |
| Ἰησοῦν τὸν Βαραββᾶν ἢ Ἰησοῦν | |
| τὸν λεγόμενον Χριστόν | τὸν βασιλέα τῶν Ἰουδαίων |
| 18 ᾔδει γὰρ ὅτι | 10 ἐγίνωσκεν γὰρ ὅτι διὰ φθόνον |
| διὰ φθόνον παρέδωκαν αὐτόν. | παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. |
| 19 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα, Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ, πολλὰ γὰρ ἔπαθον σήμερον κατ ὄναρ δι αὐτόν. | |
| 20 Οἱ δὲ ἀρχιερεῖς | 11 οἱ δὲ ἀρχιερεῖς |
| καὶ οἱ πρεσβύτεροι | |
| ἔπεισαν τοὺς ὄχλους | ἀνέσεισαν τὸν ὄχλον |
| ἵνα αἰτήσωνται τὸν Βαραββᾶν | ἵνα μᾶλλον τὸν Βαραββᾶν |
| | ἀπολύσῃ αὐτοῖς. |

τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν.

| | |
|---|---|
| 21 ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν | 12 ὁ δὲ Πιλᾶτος πάλιν ἀποκριθεὶς |
| εἶπεν αὐτοῖς, | ἔλεγεν αὐτοῖς, |
| Τίνα θέλετε ἀπὸ τῶν δύο | |
| ἀπολύσω ὑμῖν | |
| οἱ δὲ εἶπαν, Τὸν Βαραββᾶν. | |
| 22 λέγει αὐτοῖς ὁ Πιλᾶτος, | |
| Τί οὖν ποιήσω Ἰησοῦν | Τί οὖν θέλετε ποιήσω ὃν λέγετε |
| τὸν λεγόμενον Χριστόν | τὸν βασιλέα τῶν Ἰουδαίων |
| λέγουσιν πάντες, | 13 οἱ δὲ πάλιν ἔκραξαν, |
| Σταυρωθήτω. | Σταύρωσον αὐτόν. |
| 23 ὁ δὲ ἔφη, | 14 ὁ δὲ Πιλᾶτος ἔλεγεν |
| | αὐτοῖς, |
| Τί γὰρ κακὸν ἐποίησεν | Τί γὰρ ἐποίησεν κακόν |
| οἱ δὲ περισσῶς ἔκραζον λέγοντες, | οἱ δὲ περισσῶς ἔκραξαν, |
| Σταυρωθήτω. | Σταύρωσον αὐτόν. |
| 24 ἰδὼν δὲ ὁ Πιλᾶτος | |
| ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων, Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τούτου· ὑμεῖς ὄψεσθε. 25 καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν, Τὸ αἷμα αὐτοῦ ἐφ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. | |
| 26 τότε | 15 ὁ δὲ Πιλᾶτος |
| | βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν |
| | ποιῆσαι |
| ἀπέλυσεν αὐτοῖς | ἀπέλυσεν αὐτοῖς |
| τὸν Βαραββᾶν, | τὸν Βαραββᾶν, |
| τὸν δὲ Ἰησοῦν φραγελλώσας | |
| παρέδωκεν | καὶ παρέδωκεν |
| | τὸν Ἰησοῦν φραγελλώσας |
| ἵνα σταυρωθῇ. | ἵνα σταυρωθῇ. |
| 27 Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος | 16 Οἱ δὲ στρατιῶται |

| | |
|---|---|
| *παραλαβόντες τὸν Ἰησοῦν* | *ἀπήγαγον αὐτὸν* |
| *εἰς τὸ* | *ἔσω τῆς αὐλῆς, ὅ ἐστιν* |
| *πραιτώριον* | *πραιτώριον,* |
| *συνήγαγον ἐπ αὐτὸν* | *καὶ συγκαλοῦσιν* |
| *ὅλην τὴν σπεῖραν.* | *ὅλην τὴν σπεῖραν.* |
| *28 καὶ ἐκδύσαντες αὐτὸν* | *17 καὶ ἐνδιδύσκουσιν αὐτὸν* |
| *χλαμύδα κοκκίνην* | *πορφύραν* |
| *περιέθηκαν αὐτῷ,* | *καὶ περιτιθέασιν αὐτῷ* |
| *29 καὶ πλέξαντες* | *πλέξαντες* |
| *στέφανον ἐξ ἀκανθῶν* | *ἀκάνθινον στέφανον·* |
| *ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ* | |
| *καὶ κάλαμον ἐν τῇ δεξιᾷ αὐτοῦ,* | |
| *καὶ γονυπετήσαντες* | *18 καὶ ἤρξαντο ἀσπάζεσθαι* |
| *ἔμπροσθεν αὐτοῦ* | *αὐτόν,* |
| *ἐνέπαιξαν αὐτῷ λέγοντες,* | |
| *Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων,* | *Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων·* |
| *30 καὶ ἐμπτύσαντες εἰς αὐτὸν* | |
| *ἔλαβον τὸν κάλαμον* | |
| *καὶ ἔτυπτον* | *19 καὶ ἔτυπτον* |
| *εἰς τὴν κεφαλὴν αὐτοῦ.* | *αὐτοῦ τὴν κεφαλὴν καλάμῳ* |
| | *καὶ ἐνέπτυον αὐτῷ,* |
| | *καὶ τιθέντες τὰ γόνατα* |
| | *προσεκύνουν αὐτῷ.* |
| *31 καὶ ὅτε ἐνέπαιξαν αὐτῷ,* | *20 καὶ ὅτε ἐνέπαιξαν αὐτῷ,* |
| *ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα* | *ἐξέδυσαν αὐτὸν τὴν πορφύραν* |
| *καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ,* | *καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ.* |
| *καὶ ἀπήγαγον αὐτὸν* | *καὶ ἐξάγουσιν αὐτὸν* |
| *εἰς τὸ σταυρῶσαι.* | *ἵνα σταυρώσουσιν αὐτόν.* |

212 matches out of 749 words = 5%